*εἰς ἀπόδειξιν τῶν πραγμάτων τῷ ῥήτορι κτέ.* **2c.** Io. Sardiani Comm. (ed. H. Rabe) 95, 9s. *κἂν τοῖς Κατὰ Ἀριστογείτονος ὁμοίως Λυκοῦργος πρότερος καὶ ἐπ' ἐκείνῳ Δημοσθένης* (sc. *ἔφη*).

**3.** Demosth. *Κατ' Ἀριστογείτονος* A 1 *Πάλαι καθήμενος, ὦ ἄνδρες δικασταί, καὶ κατηγοροῦντος ἀκούων, ὥσπερ ὑμεῖς, Λυκούργου, τὰ μὲν ἄλλα καλῶς αὐτὸν ἡγούμην λέγειν, ἓν δὲ τεθαύμακα ὁρῶν ὑπερδιατεινόμενον, εἰ ἀγνοεῖ κτέ.* **4a.** Demosth. ibid. 14 *τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια αὐτόν, ὅπερ πεποίηκεν, Λυκοῦργον ἐρεῖν ἡγούμην, καὶ τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἑώρων προσκαλούμενον.* **4b.** ibid. 38 *δύο ἔτη βιάζεται λέγειν οὗτος* (sc. *Ἀριστογείτων*), *οὐκ ἐξὸν αὐτῷ, ἀλλὰ λέγει γ' ὅμως. ἔπειτ' ἐν τούτοις τὸν μὲν . . . . . . καὶ ὅσων ἄλλων κατηγόρηκε παρ' ὑμῖν, εἶδ' ἀδικοῦντας τὴν πόλιν, ἐμὲ δ' οὐχ ἑώρα τὸν ῥήτορ', ᾧ ἐπολέμει, οὐδὲ τὸν Λυκοῦργον οὐδὲ τοὺς ἄλλους . . .* **4c.** ibid. 54 *δεινῶν γὰρ ὄντων, οὐ μὲν οὖν ἐχόντων ὑπερβολήν, ὧν ἠκούσατ' ἄρτι λέγοντος Λυκούργου, τὰ λοίπ' ἐνάμιλλα τούτοις καὶ τῆς αὐτῆς φύσεως εὑρεθήσεται* (e sequentibus videtur Lyc. Aristog. *ἀσεβείας δίκην* accusavisse, de qua cf. Din. 2, 8. 11. 14. 18. 20). **4d.** ibid. 69 *ἡγοῦμαι τοίνυν καὶ περὶ τῆς ἐνδείξεως, ἅ μοι παραλείπειν ἔδοξε Λυκοῦργος, βέλτιον εἶναι πρὸς ὑμᾶς εἰπεῖν.* **4e.** ibid. 97 *Λυκοῦργος μὲν οὖν τὴν Ἀθηνᾶν ἐμαρτύρετο καὶ τὴν μητέρα τῶν θεῶν . . .* **4f.** id. *Κατ' Ἀριστογείτονος* B 16 *ὅτι μὲν γὰρ πονηρὸς καὶ τὸν τρόπον δεινῶς ἄδικος, ἱκανῶς ὑμῖν, ὡς ἔγωγ' οἶμαι, ἐκ τῶν προειρημένων Λυκοῦργος ἐπιδέδειχεν.*

**5.** Dinarch. 2, 13 *οὐ τὸ τελευταῖον οὗτος* (sc. *Ἀριστογείτων*) *ἐνδειχθεὶς ὑπὸ Λυκούργου καὶ ἐξελεγχθείς, ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων . . . . καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;*